Ακαδημία Αθηνών / Academy of Athens

**Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς καὶ τῇ Δευτέρᾳ τοῦ ἁγίου Πνεύματος.**

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει Σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας Σου.

Σῶσον ἡμᾶς παράκλητε, ἀγαθέ, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Εἰς τὴν ἁγίαν Μεταμόρφωσιν.**

Ὅτι παρὰ Σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτί Σου ὀψόμεθα φῶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Εἰς τὴν Ὕψωσιν τοῦ τιμίου Σταυροῦ.**

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

---

# ΑΠΟΛΥΣΕΙΣ

## τῶν Δεσποτικῶν ἑορτῶν.

Λεγόμεναι κατὰ τάξιν.

Εἰς τὸν Ἑσπερινόν, εἰς τὸν Ὄρθρον καὶ εἰς τὴν Λειτουργίαν.

**Εἰς τὴν τοῦ Χριστοῦ Γέννησιν.**

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



**Εἰς τὴν Περιτομήν.**

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

**Εἰς τὰ ἅγια Θεοφάνεια.**

Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

**Εἰς τὴν Ὑπαπαντήν.**

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

**Τῇ Κυριακῇ τῶν Βαΐων.**

Ὁ ἐπὶ πώλου ὄνου καθεσθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

**Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, μέχρι τῆς Μ. Τετάρτης.**

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον Πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν.

**Τῇ Μεγάλῃ Πέμπτῃ.**

Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας, ἐν τῷ νίψαι τοὺς πόδας τῶν μαθητῶν καὶ μέχρι Σταυροῦ καὶ Ταφῆς συγκαταβὰς ἡμῖν.

**Εἰς τὴν ἀκολουθίαν τῶν ἁγίων Παθῶν.**

Ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ σταυρὸν καὶ θάνατον ὑπομείνας, διὰ τὴν τοῦ κόσμου σωτηρίαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

**Τῇ ἁγίᾳ καὶ Μ. Παρασκευῇ.**

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ πάθη καὶ τὸν ζωοποιὸν σταυρὸν καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος.

**Τῇ ἁγίᾳ καὶ Μ. Κυριακῇ τοῦ Πάσχα καὶ εἰς ὅλας τὰς Κυριακὰς τοῦ ἔτους.**

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

**Εἰς τὴν Ἀνάληψιν.**

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανοὺς καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός.

**Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς.**

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους.

**Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας.**

Ὁ ἐκ τῶν Πατρικῶν καὶ Θεϊκῶν κόλπων κενώσας ἑαυτὸν καὶ ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς κατελθὼν καὶ τὴν ὅλην ἀναλαβόμενος φύσιν καὶ θεώσας αὐτήν, μετὰ ταῦτα εἰς τοὺς οὐρανοὺς αὖθις ἀνελθὼν καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον καὶ ἅγιον καὶ ὁμοούσιον καὶ ὁμοδύναμον καὶ ὁμόδοξον καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι'

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων, πανευφήμων, θεοκηρύκων καὶ πνευματοφόρων Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

**Εἰς τὴν Μεταμόρφωσιν.**

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων.

---

## ΕΚΦΩΝΗΣΕΙΣ

Παρὰ τοῦ ἱερέως τῶν ἐννέα ᾠδῶν τοῦ κανόνος τῆς Μ. Κυριακῆς τοῦ Πάσχα καὶ ὅλης τῆς διακαινησίμου ἑβδομάδος, ἐκφωνούμεναι ἐν τέλει ἑκάστης ᾠδῆς, ἵνα μὴ ἐρωτᾷ ὁ ἱερεὺς τοὺς ἔξω καὶ γίνηται χασμῳδία.

Εἰς τὴν α΄ ᾠδήν.

Ὅτι Σὸν τὸ κράτος καὶ Σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰς τὴν γ΄ ᾠδήν.

Ὅτι Σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι κ.τ.λ.

Εἰς τὴν δ΄ ᾠδήν.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν κ.τ.λ.

Εἰς τὴν ε΄ ᾠδήν.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ